θανόνθ᾽ ὑπ᾽ ἐχθρῶν· ὃν ποθ᾽ ὁ κτείνας χρόνῳ
δόλιος Ὀδυσσεὺς ἀξίαν τίσει δίκην.
ἰαλέμῳ αὐθιγενεῖ, str.
τέκνον, σ᾽ ὀλοφύρομαι, ὦ
ματρὸς ἄλγος, οἵαν
ἔκελσας ὁδὸν ποτὶ Τροίαν·
ἦ δυσδαίμονα καὶ μελέαν,
ἀπὸ μεμφομένας ἐμοῦ πορευθείς,
ἀπὸ δ᾽ ἀντομένου πατρὸς βιαίως.
ὤμοι ἐγὼ σέθεν, ὦ φιλία
φιλία κεφαλά, τέκνον, ὤμοι.
ΧΟ. ὅσον προσήκει μὴ γένους κοινωνίαν
ἔχοντι λύπη τὸν σὸν οἰκτείρω γόνον.
ΜΟΥ. ὄλοιτο μὲν Οἰνεΐδας, antistr.
ὄλοιτο δὲ Λαρτιάδας,
ὅς μ᾽ ἄπαιδα γέννας
ἔθηκεν ἀριστοτόκοιο·
ἅ θ᾽ Ἑλένα λιποῦσα δόμον
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ᾽
ὑπ᾽ Ἰλίῳ ὤλεσε μὲν σὲ κατὰ Τροίας,
φίλτατε, μυριάδας τε πόλεις
ἀνδρῶν ἀγαθῶν ἐκένωσεν.
ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ᾽ εἰς Ἅιδου μολών,
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
ὕβρις γάρ, ἥ σ᾽ ἔσφηλε, καὶ Μουσῶν ἔρις
τεκεῖν μ᾽ ἔθηκε τόνδε δύστηνον γόνον.
περῶσα γὰρ δὴ ποταμίους διὰ ῥοὰς
λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
ὅτ᾽ ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι μεγίστην εἰς ἔριν μελῳδίας

---

900. *ἀπομεμφομένας* B² *ἀποπεμφομένας* C *ἀποπεμψαμένας A*
π
*ἀπομεμψαμένας B* (?) *ἀπομεμψαμένας C* 905. *λύπην* B²C 909. *ἀριστοτόκοιο*] Musurus, *ἀριστοτόκου* libri. 919. *διὰ ῥοάς*] L. Dindorfius, *διαρροάς* libri. 920. *ἐπλάσθην BC*

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG